χή = **καὶ** *ἤ*, q. v.

χηλός *arca* XVI 10: *ὀκνηραὶ δὲ πάλιν κενεᾶς ἐν πυθμένι χηλοῦ | ψυχροῖς ἐν γονάτεσσι κάρη μίμνοντι βαλοῖσαι* (*αἱ Χάριτες*).

χθαμαλός *humilis* XVII 79: *οὔτις τόσα φύει ὅσα χθαμαλὰ Αἴγυπτος*.

χθιζός *hesternus*, hesterno die XXV 56: *χθιζὸς ὅδ' εἰλήλουθεν ἀπ' ἄστεος*, **cf. Il. I 424: χθιζὸς ἔβη μετὰ δαῖτα.**

χθόνιος *infernus* II 12: (*τὶν γὰρ ποταείσομαι, ἅσυχε δαῖμον,*) *τᾷ* **χθονίᾳ θ'** *Ἑκάτᾳ, τὰν* **καὶ σκύλακες τρομέοντι**: Triviae.

χθών (gen. *χθονός*, aeol. **χθόνος**. **χθονί.** in hex. semper ante caes. bucol.) *terra* 1) solum XXV 73: *τοὺς μὲν ὅγε λάεσσιν ἀπὸ χθονὸς ὅσσον ἀείρων | φευγέμεν* — *δειδίσσετο*, cf. XXV 232. Od. VIII 375: *ἀπὸ χθονὸς ὑψόσ' ἀερθείς*. — **II 112: ἐπὶ χθονὸς** *ὄμματα πᾶξαι*. XXIV 17. — 2) terra certa XXVIII 16: *ἀμμετέρας ἔσσαν ἀπὸ χθόνος*: procul a nostra terra h. e. Sicilia patria.

χιλιάς *numerus millenarius* XVII 83: *τρεῖς δ' ἄρα χιλιάδες* (**πολίων**) *τρισσαῖς ἐπὶ μυριάδεσσι*. XVI 90: **αἱ δ' ἀνάριθμοι | μήλων χιλιάδες.**

χίλιοι *mille* XI 34: *ἀλλ' ωὑτός, τοιοῦτος ἐών, βοτὰ χίλια βόσκω*, cf. Verg. Ecl. II 21: mille meae Siculis errant in montibus agnae.

χίμαιρα (nisi in exitu hex. non leg.) *capella* IX 17: **πολλὰς μὲν ὄις, πολλὰς δὲ** *χιμαίρας*. V 56: *ὑπεσσεῖται δὲ χιμαιρᾶν* | *δέρματα* **τῶν παρὰ τὶν μαλακώτερα πολλάκις ἀρνῶν.** 41: *αἱ δὲ χίμαιραι | αἵδε κατεβληχῶντο, καὶ ὁ τράγος αὐτὰς ἐτρύπη*, cf. I 151. v. *χίμαρος*.

χίμαρος (sg. *χίμαρος*. *-ῳ*, *-ον*. pl. **χιμάρως) masc. fem. 1) *hircus, hirculus*** Ep. IV 15: *κεὐθὺς ἐπιρρέξειν χίμαρον* **καλόν** (sc. *Πριήπῳ*). V 81: *ἐγὼ δ' αὐταῖς* (*Μοίσαις*) *χιμάρως δύο* **πρᾶν** *ποκ' ἔθυσα*, ubi de genere non constat. — 2) *capella* annicula I 5: *αἶκα δ' αἶγα λάβῃ τῆνος γέρας, ἐς τὲ καταρρεῖ | ἁ χίμαρος· χιμάρῳ δὲ καλὸν κρῆς, ἔστε κ' ἀμέλξῃς: ἔριφοι μέχρι τριῶν μηνῶν ἢ καὶ τεττάρων. χίμαροι ἐπὶ θηλυκοῦ ἕως ἐνιαυτοῦ, τουτέστιν ἕως ἂν τέκωσι καὶ ἀμελχθῶσιν· ἀφ' οὗ δὲ τέξεται ἡ χίμαρος,* **οὐκέτι χίμαρος λέγεται, ἀλλὰ αἲξ ἢ** *χίμαιρα*. Schol. Ep. VI 3: *οἴχεται ἁ* *χίμαρος*, **τὸ καλὸν τέκος, οἴχετ' ἐς** *Ἀιδαν*.

Χῖος *Chius* XXII 218: *ὑμῖν κῦδος, ἄνακτες, ἐμήσατο Χῖος ἀοιδός*: Homerus, cf. VII 47: *Μοισᾶν ὄρνιχες, ὅσοι ποτὶ Χῖον ἀοιδόν | ἀντία κοκκύζοντες ἐτώσια μοχθίζοντι*. — de Theocrito Chio Ep. XXII 1: *ἄλλος ὁ Χῖος· ἐγὼ δὲ Θεόκριτος . . .*

χιτών *tunica talaris, palla* II 73: *ὡμάρτευν βύσσοιο καλὸν σύροισα χιτῶνα*, **cf. Stat. Ach. I 262: aurata vestigia palla verrere.**

χιτώνιον *tunica muliebris* XV 31: *δύστανε, τί μευ τὸ χιτώνιον ἄρδεις;*

χιών *nix* XXIII 31: **ἁ δὲ χιὼν** *λευκά, καὶ τάκεται ἀνίκα παχθῇ*. XI 48: (*Αἴτνα*) **λευκᾶς ἐκ χιόνος ποτὸν ἀμβρόσιον προΐητι.** VII 76: **εὖτε χιὼν** *ὥς τις κατετάκετο μακρὸν ὑφ' Αἷμον*. II 106: **πᾶσα μὲν ἐψύχθην χιόνος πλέον.**

χλαῖνα 1) *laena*, vestis virilis lanea II 53: *τοῦτ' ἀπὸ τᾶς χλαίνας τὸ κράσπεδον ὤλεσε Δέλφις*. V 98: *ἀλλ' ἐγὼ ἐς χλαῖναν μαλακὸν πόκον, ὁππόκα πέξω | τὰν οἶν τὰν πελλάν, Κρατίδᾳ δωρήσομαι αὐτός*. — 2) *vestis stragula, stragulum* laneum, quo teguntur cubantes XVIII 19: *Ζανός τοι θυγάτηρ ὑπὸ τὰν μίαν ἵκετο χλαῖναν*. XXIV 25: **οὖλαν δὲ ποσὶν διελάκτισε χλαῖναν. 61: τὸν ἄλλον ὑπ' ἀμνείαν θέτο χλαῖναν** | *παῖδα*.

χλαμυδηφόρος *chlamyde indutus*, veste Macedonica splendidissima XV 6: *παντᾷ κρηπῖδες, παντᾷ χλαμυδηφόροι ἄνδρες*.

χλοερός *virens* XXVII 66: ὥς οἱ μὲν χλοεροῖσιν ἰαινόμενοι μελέεσσιν | ἀλλήλοις ψιθύριζον (var. χλωροῖσιν).

χλωρός (sg. f. χλωρή, -ᾶς, -ῇ. n. χλωρόν, aeol. χλῶρον XXVIII 4. — pl. f. χλωραί. n. χλωρά, -οῖσιν) 1) *viridis, virens;* de arboribus, floribus, foliis XXV 21: (πλατάνιστοι — πεφύασι) χλωρή τ' ἀγριέλαιος. XIII 41: χλωρόν τ' ἀδίαντον. XI 13: χλωρᾶς ἐκ βοτάνας. XXV 231: χλωρῇ δὲ παλίσσυτον ἔμπεσε ποίῃ. VII 9: (αἴγειροι) χλωροῖσιν πετάλοισι κατηρεφέες κομόωσαι. — XV 119: χλωραὶ δὲ σκιάδες. XXVIII 4: ὄππα Κύπριδος ἶρον καλάμῳ χλῶρον ὑπ' ἀπάλῳ (var. χλωρόν): 'aedis Veneris culmo recens tecta'. — neutr. pl. XXV 158: ἐν ὕλῃ χλωρὰ θεούσῃ: 'quae viride per campum excurrebat'. — met. XIV 70: ποιεῖν τι δεῖ, ἇς γόνυ χλωρόν: 'dum virent genua (Hor. Epod. XIII 4)'. (de XXVII 66 v. χλοερός.) — 2) *pallidus* XXV 220: ἀλλὰ κατὰ σταθμοὺς χλωρὸν δέος εἶχεν ἕκαστον: τὸ χλωροποιόν. Hesych., cf. Od. XI 633: ἐμὲ δὲ χλωρὸν δέος ᾕρει.

χνοάω *lanugine obsitus sum* XXVII 49: μᾶλα τεὰ πράτιστα τάδε χνοάοντα μαλάξω.

χοἰ = καὶ οἱ, q. v.

χοιράς *scopulus* XIII 24: ἀφ' ὧ τότε χοιράδες ἔσταν: dicuntur Symplegades.

χοῖρος *porcus* XXIV 97: Ζηνὶ δ' ἐπιρρέξαι καθυπερτέρῳ ἄρσενα χοῖρον. XIV 14: δύο μὲν κατέκοψα νεοσσώς | θηλάζοντά τε χοῖρον, ἀνῷξα δὲ Βίβλινον αὐτοῖς, cf. Hor. Od. III 17, 14: cras genium mero curabis et porco bimestri.

χολά *fel* h. e. *ira* I 18: καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται. XXIII 13: τᾶ δὲ χολᾶ τὸ πρόσωπον ἀμείβετο.

χόλος *ira* XXVII 14: φεῦ φεῦ τᾶς Παφίας χόλον ἅζεο καὶ σύγε κώρα.

χολόομαι *irascor, succenseo* XXV 5: τὸν γάρ φασι μέγιστον ἐπουρανίων κεχολῶσθαι. XXII 87: αὐτὰρ ὅγ' ἐν θυμῷ κεχολωμένος ἵετο πρόσσω. XXIII 21: οὐκέτι γάρ σε | κῶρ' ἐθέλω λυπεῖν κεχολωμένον (var. λύπης κεχολωμένος).

χορείη *chorea, saltatio* XXVII 25: οὐκ ὀδύνην, οὐκ ἄλγος ἔχει γάμος, ἀλλὰ χορείην.

χορεύω *choros agito, salto* I 91: τάκεαι ὀφθαλμώς, ὅτι οὐ μετὰ ταῖσι (παρθένοις) χορεύεις. VII 153: (Πολύφαμον) τοῖον νέκταρ ἔπεισε κατ' αὐλία ποσσὶ χορεῦσαι.

χορηγός *choragus,* is qui sumptus facit in chorum Ep. XII 1: Δημομέλης ὁ χορηγός, ὁ τὸν τρίποδ', ὦ Διόνυσε, | καὶ σὲ — ἀναθείς, | μέτριος ἦν ἐν πᾶσι, χορῷ δ' ἐκτήσατο νίκην | ἀνδρῶν.

χόριον 1) *corium* X 11: χαλεπὸν χορίω κύνα γεῦσαι, cf. Hor. Sat. II 5, 83: canis a corio nunquam absterrebitur uncto. Lucian. adv. indoct. 25: οὐδὲ γὰρ κύων ἅπαξ παύσαιτ' ἂν σκυτοτραγεῖν μαθοῦσα. — 2) *intestina* IX 19: ἐν πυρὶ δὲ δρυίνῳ χόρια ζεῖ: 'intestina lacte et melle impleta'; τὰ τῶν προβάτων καὶ ἀρνῶν ἔντερα. Schol. βρώματα διὰ μέλιτος καὶ γάλακτος γενόμενα. Athen. XIV p. 646 E.

χορός *chorus* XVIII 3: (παρθενικαὶ) πρόσθε νεογράπτω θαλάμω χορὸν ἐστάσαντο. XIII 43: ὕδατι δ' ἐν μέσσῳ Νύμφαι χορὸν ἀρτίζοντο. Ep. XII 3: χορῷ δ' ἐκτήσατο νίκην | ἀνδρῶν: 'choro virili h. e. dithyrambico'. Wuestem.

χόρτος 1) *foenum* IV 18: καὶ μαλακῶ χόρτοιο καλὰν κώμυθα δίδωμι (τᾷ πόρτι). — 2) *pascuum* XIII 39: τάχα δὲ κράναν ἐνόησεν | ἡμένῳ ἐν χόρτῳ (Ahr. et Ziegl. c. var. χώρῳ).

χοὖτος = καὶ οὗτος, q. v.

χοὔτω = καὶ οὕτω, q. v.

χράω 1) Act. impers. χρή (praes. χρή. ipf. ἔχρῆν. brevis vocalis ante h. v. in hex. ubique producitur; non liquet de XXIX 2. 31.) *opus est, oportet, decet;* sequ. inf. praes. (v. aor.) c. accus., qui nonnunquam intelligitur, XXIX 2: κἄμμε χρὴ μεθύοντας ἀλάθεας ἔμμεναι. X 56: ταῦτα χρὴ μοχθεῦντας ἐν ἁλίῳ ἄνδρας ἀείδειν. XVIII 12: εὕδειν μὰν χρήζοντα καθ' ὥραν αὐτὸν ἐχρῆν τυ. IV 41: θαρσεῖν χρή, φίλε Βάττε. XV 44: πῶς καί ποκα τοῦτο περᾶσαι | χρὴ τὸ κακόν; XXV 81: ᾔδει δ' ᾧ τε χρὴ χαλεπαινέμεν ᾧ τε καὶ οὐκί. VIII 66. XXII 171. XXIX 31. XXX 29. deest infin. XIV 64: οἷα χρὴ βασιλῆ': sc. πράττειν. Gloss. — 2) Pass. χράομαι (pf. κέχρησθε, κεχρημένος. fut. κεχρήσετ') *difficultate atque inopia cogor, indigeo,* c. gen. XXVI 18: τίνος κέχρησθε, γυναῖκες; XXV 101: (οὔτις)

εἱστήκει παρὰ βουσὶν ἀνὴρ κεχρημένος ἔργου. XVI 73. XXV 35.

χρειώ *indigentia, desiderium* XXV 44: τοῦ γάρ με καὶ ἤγαγεν ἐνθάδε χρειώ, cf. Od. IV 312: τίπτε δέ σε χρειὼ δεῦρ' ἤγαγε;

χρέος *negotium necessarium* XXV 53: ὥς τοι πὰν ὃ θέλεις αἶψα χρέος ἐκτετέλεσται.

χρήζω, aeol. **χρῄσδω** *desidero, cupio, volo*, c. infin. XV 28: πάλιν αἱ γαλέαι μαλακῶς χρῄζοντι καθεύδειν; XVIII 12: εὕδειν μὰν χρῄζοντα καθ' ὥραν αὐτὸν ἐχρῆν τυ (Ahr. et Ziegl. c. var. σπεύδοντα). VIII 11: χρῄσδεις ὦν ἐσιδεῖν; χρῄσδεις καταθεῖναι ἄεθλον; Δ. χρῄσδω τοῦτ' ἐσιδεῖν. χρῄσδω καταθεῖναι ἄεθλον.

χρῆμα (sg. χρῆμ(α). pl. χρήματα. brevis vocalis ante h. v. semel producitur.) 1) sing. *res* XXI 25: τί τὸ χρῆμα; XV 23: ἀκούω χρῆμα καλόν τι | κοσμεῖν τὰν βασίλισσαν: 'spectaculum magnificum'. — met. de homine XV 83: σοφόν τοι χρῆμ' ὤνθρωπος. 145: Πραξινόα, τὸ χρῆμα σοφώτερον, cf. Sen. Epist. 95, 33: homo sacra res homini. — de pluribus XVIII 4: (παρθενικαὶ) δώδεκα ταὶ πρᾶται πόλιος, μέγα χρῆμα Λακαινᾶν, cf. Prop. II 5, 28: Cynthia forma potens. — 2) plur. *pecunia, divitiae* XVI 59: χρήματα δὲ ζώοντες ἀμαλδύνουσι θανόντων. Ep. XXIII 3: τὰ δ' ὀθνεῖα Κάικος | χρήματα καὶ νυκτὸς βουλομένοις ἀριθμεῖ.

χρήσιμος *utilis* Ep. XVII 9: πολλὰ γάρ πὸτ τὰν ζόαν τοῖς πᾶσιν εἶπε χρήσιμα. — de homine: *frugi* Ep. XVIII 4: ἔτι χρησίμα καλεῖται (Κλεῖτα).

χρησμός *oraculum* XV 63: χρησμὼς ἁ πρεσβῦτις ἀπῴχετο θεσπίξασα: μαντείας ἢ αἰνίγματα. Gloss.

χρηστός *utilis, bonus* XXI 29: ἆρ' ἔμαθες κρίνειν ποκ' ἐνύπνια; χρηστὰ γὰρ εἶδον. — de hominibus: *probus, frugi* (opp. πονηρός) XV 75: χρηστοῦ κοἰκτίρμονος ἀνδρός (Ziegl. e coni. Wintert. χρηστῶ): 'quel homme brave et compatissant'. Ep. XXI 2: εἰ μὲν πονηρός, μὴ ποτέρχευ τῷ τύμβῳ, | εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν, | θαρσέων καθίζευ.

χρίμπτω *admoveo, impingo*; med. XXV 144: (ταῦρος) ἐπόρουσεν ἐνσκόπῳ Ἡρακλῆι | χρίμψασθαι ποτὶ πλευρὰ κάρη στιβαρόν τε μέτωπον.

χρίω *ungo, perungo*: de Lacaenis XVIII 22: ἄμμες δ' αἱ πᾶσαι συνομάλικες, αἷς δρόμος ωὑτός | χρισαμέναις ἀνδριστὶ παρ' Εὐρώταο λοετροῖς.

χρόη, χροιά *color* XXV 130: χρόην δ' ἔσαν ἠύτε κύκνοι | ἀργησταί (οἱ ταῦροι). de pugile XXII 114: (ὁ δ' αἰεὶ πάσσονα γυῖα) ἁπτόμενος φορέεσκε πόνου χροιῇ δέ τ' ἀμείνω. XVI 48: τίς κομόωντας | Πριαμίδας ἢ θῆλυν ἀπὸ χροιᾶς Κύκνον ἔγνω; (var. χροιῆς): λευκὸς γὰρ ἦν τὴν χροιὰν ἐκ γενετῆς, ὥς φησιν Ἑλλάνικος. Schol.

χροΐζω *coloro*. med. X 18: μάντις τοι τὰν νύκτα χροΐζεται ἁ καλαμαία (plerique χροϊξεῖται καλαμαία, Warton. χροϊξεῖθ' ἁ καλαμαία, cui assentitur Ahr. Phil. XXXIII p. 388): 'quia fusca est puella, quam alter deperit, Milon acerbe sic iocatur: hem, iam maga v. saga illa fusca noctem ipsam tibi (quando tecum est) reddit atram'. A. Fr.

Χρόμις *Chromis* pastor I 24: ὡς ὅκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ᾆσας ἐρίσδων.

χρόνιος *diuturnus*, de homine post longum tempus adveniente XIV 2: ὡς χρόνιος. Θ. χρόνιος; τί δέ τοι τὸ μέλημα;: 'quam diu te non vidi'; cf. Lucian. Tim. 55: παπαῖ, χρόνιος ἡμῖν Θρασυκλῆς. Od. XVII 112: υἱὸν ἐλθόντα χρόνιον νέον ἄλλοθεν.

χρόνος (sg. χρόνος, -ῳ, -ον. brevis vocalis ante h. v. producitur bis.) *tempus* II 92: ὁ δὲ χρόνος ἄνετο φεύγων. XXIII 28: καὶ τὸ ῥόδον καλόν ἐστι, καὶ ὁ χρόνος αὐτὸ μαραίνει. VII 1: ἦς χρόνος ἁνίκ' . . .: 'fuit tempus quum' . . . — de longiore temporis spatio XXI 25: χρόνον ταὶ νύκτες ἔχοντι. XXIV 122: δίφροι, ἐφ' ὧν ἐπέβαινε, χρόνῳ διέλυσαν ἱμάντας. XV 1: Γοργοῖ φίλα, ὡς χρόνῳ!: 'quam longo intervallo venis'; cf. Eur. Phoen. 306: ἰὼ τέκνον, χρόνῳ σὸν ὄμμα μυρίαις τ' ἐν ἁμέραις προσεῖδον. — de aetate XIV 69: ἐπισχερὼ ἐς γένυν ἕρπει | λευκαίνων ὁ χρόνος.

χρύσε(ι)ος (sg. m. χρύσεος, -εον. f. χρυσέα. n. χρύσειον. — pl. m. χρύσειοι, χρύσεοι. n. χρύσει', χρυσοῖσιν, aeol. χρύσια ci. XXIX 37. brevis vocalis ante h. v. semel producitur.) *aureus*, 1) ex auro factus v. auro ornatus XV 114: Συρίῳ δὲ μύρῳ χρύσει' ἀλάβαστρα. XXIX 37: νῦν μὲν

κῆπὶ τὰ χρύσια μᾶλ' ἕνεκεν σέθεν | βαίην (A. Fritzschius e coni. pro vulg. *χρύσεα*): Hesperidum. XVII 17: *καί οἱ χρύσεος δόμος ἐν Διὸς οἴκῳ | δέδμηται.* XIII 16: *ὅτε τὸ χρύσειον ἔπλει μετὰ κῶας Ἰήσων.* XXI 52: *ἀνείλκυσα χρύσεον ἰχθύν*, cf. 64; itaque dicit XXI 66: *ζάτει τὸν σάρκινον ἰχθύν, | μὴ σὺ θάνῃς λιμῷ καὶ σοῖς χρυσοῖσιν ὀνείροις.* de simulacris X 32: *αἴθε μοι ἧς, ὅσσα Κροῖσόν ποκα φαντὶ πεπᾶσθαι, | χρύσεοι ἀμφότεροί κ' ἀνεκείμεθα τᾷ Ἀφροδίτᾳ*, cf. Verg. Ecl. VII 35: nunc te marmoreum pro tempore fecimus; at tu — aureus esto. — (VIII 53: *χρύσεια τάλαντα*, v. *Κροίσειος*.) — 2) met. de quavis praestantia ac pulchritudine XVIII 28: *ὧδε καὶ ἁ χρυσέα Ἑλένα διαφαίνετ' ἐν ἁμῖν*, ut apud Hom. Venus saepius vocatur *χρυσέη*, e. g. Il. III 64. de probis aureae aetatis hominibus XII 15: *ἦ ῥα τότ' ἔσσαν | χρύσειοι πάλιν ἄνδρες, ὅτ' ἀντεφίλησ' ὁ φιληθείς*: 'erat tum iterum aetas aurea'; cf. Lucian. Saturnal. 7, p. 390: *ἀγαθοὶ γὰρ ἦσαν καὶ χρυσοὶ ἅπαντες.* Hor. Od. IV 2, 39: redeant in aurum tempora priscum.

Χρῡσογόνη *Chrysogone*, uxor Amphiclis Ep. XIII 2: *ἁγνῆς ἄνθεμα Χρυσογόνης | οἴκῳ ἐν Ἀμφικλέους, ᾧ καὶ τέκνα καὶ βίον εἶχεν | ξυνόν.*

χρῡσός (sg. *χρυσός, -ῶ, -ῷ, -όν*) *aurum* XXI 52: *ἀνείλκυσα χρύσεον ἰχθύν | παντᾷ τῷ χρυσῷ πεπυκασμένον*, cf. 57. 60. — plerumque de rebus ex auro confectis: de simulacris et toreumate XVII 124: *ἐν δ' αὐτοὺς χρυσῷ περικαλλέας ἠδ' ἐλέφαντι | ἵδρυται.* XV 123: *ὦ ἔβενος, ὦ χρυσός, ὦ ἐκ λευκῶ ἐλέφαντος | αἰετοί.* de nummis aureis, pecunia, divitiis XII 36: *Λυδίῃ — πέτρῃ —, χρυσὸν ὁποίῃ | πεύθονται μὴ φαυλὸς ἐτήτυμον ἀργυραμοιβοί.* XVI 22: *δαιμόνιοι, τί δὲ κέρδος ὁ μυρίος ἔνδοθι χρυσός | κείμενος;* XVII 106: *οὐ μὰν ἀχρεῖός γε δόμῳ ἐνὶ πίονι χρυσός | μυρμάκων ἅτε πλοῦτος ἀεὶ κέχυται μογεόντων.* XI 82. XV 101: *χρυσῷ παίζοισ' Ἀφροδίτα: διὰ τούτου δηλοῖ ὅτι οἱ ἐρῶντες χρυσῷ πείθουσι τοὺς ἐρωμένους.* Schol.

χρώς (sg. *χρώς, χροός, χρωτί, χρόα.* brevis vocalis ante h. v. producitur ter.) *cutis* corporis cum ipsa carne subiecta II 88: *καί μευ χρὼς μὲν ὁμοῖος ἐγίνετο πολλάκι θάψῳ.* 110: *ἐπάγην δαγῦδι καλὸν χρόα πάντοθεν ἴσα.* 140: *καὶ ταχὺ χρὼς ἐπὶ χρωτὶ πεπαίνετο.* XXX 9: *ἠρεύθετο δὲ χρόα.* XX 16: *καὶ χρόα φοινίχθην ὑπὸ τὤλγεος ὡς ῥόδον ἔρσᾳ.* (de XXIII 13 v. *ὕπωχρος*.) VI 14: *κατὰ δὲ χρόα καλὸν ἀμύξῃ.* XXVII 30: *μὴ καὶ χρόα καλὸν ὀλέσσω.* XXV 253: *μαιμώων χροὸς ἆσαι.* VII 109: *κατὰ μὲν χρόα πάντ' ὀνύχεσσι | δακνόμενος κνάσαιο.* XXII 188: *εἴ πού τι χροὸς γυμνωθὲν ἴδοιεν.* XXV 69: (*ἐνόησαν*) *ἀμφότερον ὀδμῇ τε χροὸς δούπῳ τε ποδοῖιν.* 136: *πρῶτοι τοίγε μάχηνδε κατὰ χροὸς ἤισαν ὀσμήν.* II 55: *αἰαῖ Ἔρως ἀνιηρέ, τί μευ μέλαν ἐκ χροὸς αἷμα | ἐμφὺς ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας;* ubi iam corpus ipsum dici videtur.

χὐμές = *καὶ ὑμεῖς*, q. v.

χὐμνοθέτης = *καὶ ὑμνοθέτης*, q. v.

χὡ = *καὶ ὁ*, q. v.

χὤδωνις = *καὶ ὁ Ἄδωνις*, q. v.

χὠκ = *καὶ ὁ ἐκ*, q. v.

χωλός *claudus* XV 41: *δάκρυ' ὅσσα θέλεις, χωλὸν δ' οὐ δεῖ τυ γενέσθαι: κρουσθὲν ὑπὸ ἵππου.* Gloss.

χῶμα *tumulus* XXIII 43: *χῶμα δέ μοι κοίλανον, ὅ μευ κρύψει τὸν ἔρωτα.*

χὠμός = *καὶ ὁ ἐμός*, q. v.

χὠνήρ = *καὶ ὁ ἀνήρ*, q. v.

χώρα 1) *locus* destinatus XV 57: *τοὶ δ' ἔβαν ἐς χώραν: οἱ δὲ ἵπποι* (v. *ἱππεῖς*) *κεχωρήκασιν εἰς ὃν ἔδει τόπον.* Schol. — 2) *regio, terra* IV 5: *αὐτὸς δ' ἐς τίν' ἄφαντος ὁ βουκόλος ᾤχετο χώραν;*

χωρέω 1) *decedo, demigro* XIII 70: *ὁ δ' ᾇ πόδες ἆγον ἐχώρει | μαινόμενος.* — 2) *cedo*, met. XIV 57: *ὤφελε μὰν χωρεῖν κατὰ νῶν τεόν, ὤν ἐπεθύμεις.*

χωρίον *regio, locus* XXI 65: *εἰ μὲν ἄρ' οὐ κνώσσων τὺ τὰ χωρία ταῦτα ματεύσεις, | ἐλπὶς τῶν ὕπνων.*

χωρίς *separatim, seorsum* XXV 12: *χωρὶς δὲ σηκοί σφι τετυγμένοι εἰσὶν ἑκάσταις.* XIII 10: *χωρὶς δ' οὐδέποκ' ἦς.*

χὠρίων = *καὶ ὁ Ὠρίων*, q. v.

χῶρος (sg. *χῶρος, -ῳ, -ον*) 1) *locus* certus quidam vel certis finibus circumscriptus XXV 211: *τὸν χῶρον, ὅθι λῖς ἦεν, ἵκανον.* XXII 54: *τίνες βροτοί, ὧν ὅδε χῶρος;* VI 1: *εἰς ἕνα χῶρον | τὰν ἀγέλαν — συνάγαγον.* XXV 8: *οὐ πᾶσαι βόσκονται ἴαν βό-*

σιν οὐδ' ἕνα χῶρον. XXII 94: χώρῳ ἐνὶ στεινῷ. (de XIII 40 v. χόρτος.) — 2) *ager, campus, praedium* XIII 65: παῖδα ποθῶν δεδόνητο, πολὺν δ' ἐπελάμβανε χῶρον. XXV 182: εὔυδρον Νεμέης εἰσήλυθε χῶρον. — XIV 14: (ἐπίνομες) ἐν χώρῳ παρ' ἐμίν: 'ruri apud me, in meo agello'. Wuestem.

χὡς = καὶ ὡς, q. v.

χὤσους = καὶ ὅσους, q. v.

χὤταν = καὶ ὅταν, q. v.

χὤτι = καὶ ὅτι, q. v.

Ψ

ψὲ v. **σφεῖς.**

ψεῦδος 1) *mendacium, error* XXI 64: ἴσα δ' ἦν ψεύδεσιν ὄψις. — 2) *mendaciae signum v. nota*, h. e. pustula alba, quae mendacium hominum naribus supercrescere vulgo credebatur, XII 23: ἐγὼ δὲ σὲ τὸν καλὸν αἰνέων | ψεύδεα ῥινὸς ὕπερθεν ἀραιῆς οὐκ ἀναφύσω: τὰ εἰς τὸ ἄκρον τῆς ῥινὸς φυόμενα ψυδάκρια, ἐξ ὧν τοὺς ψευδολόγους τεκμαίρονται. Gloss.

ψεύδω, med. **ψεύδομαι** *mentior, falsa dico* XXI 21: ψεύδοντ' ὦ φίλε πάντες, ὅσοι τὰς νύκτας ἔφασκον | τῶ θέρεος μινύθειν. XXV 187: οἵ δέ νυ καὶ ψεύδεσθαι ὁδοιπόρον ἀνέρ' ἔφαντο | γλώσσης μαψιδίοιο χαριζόμενον παρεοῦσιν.

ψῆφος *calculus*, quo utebantur in computando, Ep. XXIII 1: ἀστοῖς καὶ ξείνοισιν ἴσον νέμει ἅδε τράπεζα, | θεὶς ἀνελοῦ, ψήφου πρὸς λόγον ἐρχομένης.

ψιθυρίζω, aeol. **ψιθυρίσδω** *susurro* XXVII 66: ὡς οἱ μὲν χλοεροῖσιν ἰαινόμενοι μελέεσσιν | ἀλλήλοις ψιθύριζον. II 141: (τὰ πρόσωπα) θερμότερ' ἦς ἢ πρόσθε, καὶ ἐψιθυρίσδομες ἁδύ, cf. Hor. Od. I 9, 19: lenesque sub noctem susurri.

ψιθύρισμα *susurrus* foliorum I 1: ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα.

ψυχά, ψυχή (sg. ψυχά, -ᾶς, -ᾷ, -άν, -ήν, -ά) 1) **anima** (v. vita) et hominum et animalium XXV 271: ψυχὴν δὲ (leonis) πελώριος ἔλλαχεν Ἅιδης. XI 52: καιόμενος δ' ὑπὸ τεῦς καὶ τὰν ψυχὰν ἀνεχοίμαν | καὶ τὸν ἕν' ὀφθαλμόν. XXVII 61: αἰθ' αὐτὰν δυνάμαν καὶ τὰν ψυχὰν ἐπιβάλλειν. XV 37: τοῖς δ' ἔργοις καὶ τὰν ψυχὰν ποτέθηκα: 'h. e. vestem aeque ac me ipsam amo'. XV 4: ὢ τᾶς ἀλεμάτω ψυχᾶς! μόλις ὔμμιν ἐσώθη (sc. ἁ ψυχά), cf. Plaut. I 2, 15: perii! animam nequeo vertere! nimis nihil tibicen siem. v. ἀλέματος. — met. de homine ipso XXIV 8: εὕδετ' ἐμὰ ψυχά, δύ' ἀδελφεώ, εὔσοα τέκνα, cf. Cic. Fam. XIV 14: vos meae carissimae animae, quam saepissime ad me scribite. — 2) *animus* XXIII 54: οὐδ' ἐλυγίχθη | τὰν ψυχάν. XVI 24: (οὐχ ἅδε πλούτου φρονέουσιν ὄνασις,) ἀλλὰ τὸ μὲν ψυχᾷ, τὸ δὲ καί τινι δοῦναι ἀοιδῶν: 'animo v. genio tuo', cf. Hor. Od. IV 7, 19: cuncta manus avidas fugient heredis, amico quae dederis animo. Plaut. Pers. II 3, 14: genio meo multa bona faciam. Aesch. Pers. 840: χαίρετ', ἐν κακοῖς ὅμως ψυχῇ διδόντες ἡδονὴν καθ' ἡμέραν. — Syr. 13: ψυχὰν — χάροις. VIII 35: βόσκοιτ' ἐκ ψυχᾶς τάσδ' ἀμνάδας: 'ex prompta animi voluntate'; ἤγουν ἐξ ὅλης τῆς προθυμίας. Schol.

ψυχρός (sg. m. ψυχροῦ, -ῷ, -όν. n. ψυχρόν. pl. n. ψυχροῖς) *frigidus, gelidus* 1) de aqua V 47: ἔνθ' ὕδατος ψυχρῶ κρᾶναι δύο. XI 47: ἔστι ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα | λευκᾶς ἐκ χιόνος ποτὸν ἀμβρόσιον προΐητι. V 33. IX 9. de serpente frigus inducente XV 58: ἵππον καὶ τὸν ψυχρὸν ὄφιν τὰ μάλιστα δεδοίκω, cf. Verg. Ecl. III 93: frigidus — latet anguis in herba. — de flumine inferorum XVI 31: μηδ' ἀκλεὴς μύρηαι ἐπὶ ψυχροῦ Ἀχέροντος, cf. Verg. Aen. IV 385: frigida mors. Ov. Met. XV 153: gelidae — mortis. — 2) met. XVI 10: ὀκνηραὶ δὲ πάλιν κενεᾶς ἐν πυθμένι χηλοῦ | ψυχροῖς ἐν γονάτεσσι κάρη μίμνοντι βαλοῖσαι (αἱ Χάριτες): ἀσθενέσι. Gloss.

ψύχω *frigidum reddo, refrigero*, pass. *frigesco*, frigore afficior II 106: πᾶσα μὲν ἐψύχθην χιόνος πλέον.

Ω

ω (semper fere in arsi exstat, bis in thesi, semel correpta vocali I 115. — hiatum efficit quater XVIII 58. XXII 23. XXIV 70 (ci.). XXV 193. — in crasi leguntur ὤγαθέ, ᾤζυρέ, ὠλεύθερε, ὦναξ, ὤνθρωπε, ὠπιμελητά.) particula est et appellantis et exclamantis: *o, heus;* I) appellantis, nonnunquam etiam cum obiurgatione quadam compellantis; coniungitur autem c. vocat. 1) nominum propr. a) IV 1: *εἰπέ μοι, ὦ Κορύδων, τίνος αἱ βόες*; cf. IV 50. 58. VI 19: *ὦ Πολύφαμε.* VIII 82: *ὦ Δάφνι.* X 12: *ὦ Μίλων.* XV 46: *ὦ Πτολεμαῖε.* XXII 85: *ὦ Πολύδευκες.* XXIV 70: *ὦ Εὐηρεΐδα* (ci.). XXV 193: *ὦ Αὐγηιάδη.* XVIII 58: *Ὑμὴν ὦ Ὑμέναιε.* I 123: *ὦ Πὰν Πάν.* XI 72: *ὦ Κύκλωψ Κύκλωψ.* XX 41. 44 (ci.). Ep. IX 5. XII 1. XVII 3. — I 144: *ὦ χαίρετε πολλάκι Μοῖσαι, χαίρετ'*, ubi part. *ὦ* ad voc. *Μοῖσαι* referatur an ad imperativum potest dubitari; cf. tamen Aesch. Suppl. 602: *ὦ χαῖρε πρέσβυ.* Soph. Ai. 91: *ὦ χαῖρ' Ἀθάνα, χαῖρε Διογενὲς τέκνον.* — b) add. adi. v. subst. IV 26: *ὦ τάλαν Αἴγων.* III 6 = IV 38: *ὦ χαρίεσσ' Ἀμαρυλλί.* XV 136: *ὦ φίλ' Ἄδωνι.* VII 83. VIII 51. XI 19. VII 106: *ὦ Πὰν φίλε.* 117: *ὦ μάλοισιν Ἔρωτες ἐρευθομένοισιν ὁμοῖοι.* XXII 132: *ὦ πύκτη Πολύδευκες.* VIII 65: *ὦ Λάμπουρε κύων* (Ahr. Ziegl. *κύον*), ubi vocativo adiungitur nomin., cf. Eur. Andr. 348: *ὦ τλήμων ἄνερ.* — iteratur part. *ὦ* XVI 104: *ὦ Ἐτεόκλειοι Χάριτες θεαί, ὦ Μινύειον | Ὀρχομενὸν φιλέοισαι ἀπεχθόμενόν ποτε Θήβαις.* VIII 59: *ὦ πάτερ ὦ Ζεῦ.* — 2) aliorum subst. (et adi.) XV 60: *ἐξ αὐλᾶς, ὦ μᾶτερ; Γ. ἐγών, ὦ τέκνα.* XIII 52: *ὦ παῖδες.* XXV 52: *ὦ ξεῖνε.* XXI 61: *ὦ ξένε*, cf. Ep. XVI 1. XI 60: *ὦ κόριον.* XVIII 49: *ὦ νύμφα.* II 132: *ὦ γύναι.* I 7 = 15: *ὦ ποιμήν.* V 16 = XV 71: *ὤνθρωπε.* I 128: *ὦναξ.* V 25: *ὦ κίναδος σύ.* VIII 49: *ὦ τράγε.* V 68: *ὦ φίλε*, cf. XXI 22. XXV 280. XV 7: *ὦ μέλ'*, v. *μέλε.* V 137: *ὦ τάλαν.* IV 60: *ὦ δειλαῖε.* XV 76: *ὦ δειλὰ τύ.* X 1: *ᾤζυρέ.* V 12: *ὦ κακέ.* I 62: *ὤγαθέ*, cf. I 78. V 17. XIV 8. V 8: *ὠλεύθερε.* Ep. XIII 5: *ὦ πότνια.* Syr. 13: *ὦ βροτοβάμων* (nom. pro voc.). — XII 1: *ὦ φίλε κοῦρε.* XVIII 9: *ὦ φίλε γαμβρέ.* XXIX 1: *ὦ φίλε παῖ.* V 40: *ὦ φθονερὸν τὺ καὶ ἀπρεπὲς ἀνδρίον αὔτως.* XV 87: *ὦ δύστανοι ἀνάνυτα κωτίλλοισαι | τρυγόνες.* VIII 50: *ὦ σιμαὶ — ἔριφοι.* XXVIII 1: *ὦ φιλέριθ' ἀλακάτα.* X 54: *ὠπιμελητὰ φιλάργυρε.* IV 62: *ὤνθρωπε φιλοῖφα.* — repetitur part. *ὦ* I 115: *ὦ λύκοι, ὦ θῶες, ὦ ἀν' ὤρεα φωλάδες ἄρκτοι.* III 18: *ὦ τὸ καλὸν ποθορεῦσα, τὸ πᾶν λέπας, ὦ κυάνοφρυ | νύμφα.* XVIII 38: *ὦ καλὰ ὦ χαρίεσσα κόρα.* XXII 23: *ὦ ἄμφω θνατοῖσι βοηθόοι, ὦ φίλοι ἄμφω.* — II) exclamantis XV 44: *ὦ θεοί, ὅσσος ὄχλος!* VI 26: *ἁ δ' ἀίοισα | ζαλοῖ μ', ὦ Παιάν, καὶ τάκεται: ἐπὶ θαύματος καὶ χαρᾶς ἐνταῦθα ἡ ἐπίκλησις.* Schol.

ὦ *o, heu* exclamatio est mirantis aut dolentis 1) XXV 78: *ὢ πόποι, οἷον τοῦτο θεοὶ ποίησαν ἄνακτες | θηρίον ἀνθρώποισι μετέμμεναι, ὡς ἐπιπειθές.* XV 123: *ὢ ἔβενος, ὢ χρυσός, ὢ ἐκ λευκῶ ἐλέφαντος | αἰετοί.* XV 4: *ὢ τᾶς ἀλεμάτω ψυχᾶς!* — 2) *ὤμοι* (*ὤ μοι*) ubique dolentis est V 24: *ὤμοι ἐγώ, τί πάθω;* plane ut Od. V 465. Il. XI 404. — X 40: *ὤμοι τῶ πώγωνος, ὃν ἀλιθίως ἀνέφυσα:* 'ridet his alterum; quam ego stultus sum, qui non possim tam bella carmina canere'. Hermann. XI 54: *ὤμοι, ὅτ' οὐκ ἔτεκέν μ' ἁ μάτηρ βραγχί' ἔχοντα.*

ὧ adv. v. ὅς III 2).

ᾦαι (aeol. pro *ὤαιαί*) *vae, heu* XXX 1: *ᾦαι τῶ χαλέπω καὶ νομόρω τῶδε νοσήματος* (e Bergk. emend. scr. pro cod. *καί*).

ὤγαθέ = *ὦ ἀγαθέ*, q. v.

ὤγαθος aeol. = *ὁ ἀγαθός*, q. v.

ὠγώ = *ὃ ἐγώ*, q. v.

ᾠδά (sg. *ᾠδά, -ᾶς, -άν.* pl. *ᾠδάς*) *cantus, carmen* VIII 62: *τὰν πυμάταν δ' ᾠδὰν οὕτως ἐξᾶρχε Μενάλκας.* IX 32: (*τέττιξ μὲν τέττιγι φίλος,*) — *ἐμὶν δέ τε Μοῖσα καὶ ᾠδά.*

IX [1. 2.] 28. — facultas poetica s. Musa VII 35: ἀλλ' ἄγε δή — ξυνὰ γὰρ ὁδός, ξυνὰ δὲ καὶ ᾠδά — βουκολιασδώμεσθα (e Valcken. et Bindemanni coni. scr. pro vulg. ἀώς). — v. ἀοιδή.

ὧδε) (ubique — praeter unum locum — est in arsi idque maxime primi et quinti pedis hex.) adv. demonstr. I) *sic, ita, hoc modo;* 1) respondet adv. relat. ὡς, ἅτε XVIII 35: οὐ μὰν οὐδὲ λύραν τις ἐπίσταται ὧδε κροτῆσαι | — ὡς Ἑλένα. 26—31: ἅτε — ὧδε (bis). — 2) non enuntiatur comparatio, sed ex iis quae prius dicta sunt intelligitur I 42: φαίης κεν γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν· ὧδέ οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες. XXIV 132: ὧδε μὲν Ἡρακλῆα φίλα παιδεύσατο μάτηρ. XVII 40. 131. XXIII 49. XXV 80. XXIX 21. add. adv. XXV 133: ὧδ' ἔκπαγλον ἐπὶ σφίσι γαυριόωντο: 'tam vehementer'. — 3) refertur ad sequentia VIII 81: ὁ δ' αἰπόλος ὧδ' ἀγόρευεν· Ad. 21. — II) adv. loci 1) *hic* IV 51: (ἁ γὰρ ἄκανθα) ἀρμοῖ μ' ὧδ' ἐπάταξ' ὑπὸ τὸ σφυρόν. V 33: ὧδε πεφύκει | ποία χἀ στιβὰς ἅδε καὶ ἀκρίδες ὧδε λαλεῦντι. XXV 11: αἱ δ' ἐπὶ Βουπρασίου πολυβότρυος, αἱ δὲ καὶ ὧδε (νέμονται). I [106. 107.]. 120. 121. III 53. V 45. 46. 55. XI 38. 64. XXV 14. Ep. XVII 4. respondet adv. relat. ὡς ubi V 100: ὧδε νέμεσθε, | ὡς τὸ κάταντες τοῦτο γεώλοφον αἵ τε μυρῖκαι. — 2) *huc* I 151: ὧδ' ἴθι, Κισσαίθα. III 38: ἀσεῦμαι ποτὶ τὰν πίτυν ὧδ' ἀποκλινθείς. V 44: ἀλλὰ γὰρ ἕρφ' ὧδ', ἕρπε, καὶ ὕστατα βουκολιαξῇ. V 62. XI 61. XV 33. 78. XXV 35. 54.

ὠδίνω *parturio* XXVII 28: ὠδίνειν τρομέω· χαλεπὸν βέλος Εἰλειθυίης.

ὠδίς *dolor parturientis* XVII 61: Ἀντιγόνας θυγάτηρ βεβαρημένα ὠδίνεσσιν.

ᾠδοποιός *qui odas conficit, cantor* Ep. XVI 3: Ἀνακρέοντος εἰκόν' εἶδον ἐν Τέῳ | τῶν πρόσθ' εἴ τι περισσὸν ᾠδοποιοῦ.

ὤδωνις = ὁ Ἄδωνις, q. v.

ᾠζυρέ = ὦ οἰζυρέ, q. v.

ὠθέω (act. praes. ὠθεῖ, ipf. ὤθειτε, aor. ὦσε(ν). — pass. pr. ὠθεῦντ') *trudo, pello* II 127: εἰ δ' ἄλλᾳ μ' ὠθεῖτε καὶ ἁ θύρα εἴχετο μοχλῷ. XXV 147: πάλιν δέ μιν ὦσεν ὀπίσσω. XXII 201: μεταΐξας πλατὺ φάσγανον ὦσε διαπρὸ | Τυνδαρίδης λαγόνος τε καὶ ὀμφαλοῦ: defixit. XVI 61: (κύματα) ὅσσ' ἄνεμος χέρσονδε μετὰ γλαυκᾶς ἁλὸς ὠθεῖ, cf. Od. III 295: ἔνθα Νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ. — Pass. XV 73: ὠθεῦνθ' ὥσπερ ὕες: trudunt se invicem, impellunt sese, cf. Xen. Cyr. VII 5, 38: ἧκον ἀμήχανοι τὸ πλῆθος· καὶ ὠθουμένων περὶ τοῦ προσελθεῖν μηχανή τε πολλὴ καὶ μάχη ἦν.

ᾠκ = ὁ ἐκ, q. v.

ὦκα *celeriter* XXV 232: κρᾶτα δαφοινὸν ἀπὸ χθονὸς ὦκ' ἐπάειρε.

ὠκεἄνός, Ὠκεἄνός *Oceanus*, fluvius totam terram cingens, ex quo sidera oriuntur et in quem occidunt; II 147: ποτ' ὠρανὸν ἔτραχον ἵπποι | Ἀῶ τὰν ῥοδόπαχυν ἀπ' Ὠκεανοῖο φέροισαι. 163: ἀλλὰ τὺ μὲν χαίροισα ποτ' Ὠκεανὸν (ὠκεανὸν Ahr.) τρέπε πώλους, | πότνι': Luna invocatur. VII 54: χώρίων ὅτ' ἐπ' ὠκεανῷ πόδας ἴσχει.

ὠκύς *celer* XVI 46: τιμᾶς δὲ καὶ ὠκέες ἔλλαχον ἵπποι. comp. XIV 41: ὠκυτέρα (sc. χελιδόνος) μαλακᾶς ἀπὸ δίφρακος ἔδραμε τήνα.

ὤλαφος = ὁ ἔλαφος, q. v.

ὠλεύθερε = ὦ ἐλεύθερε, q. v.

ὤλλοι = οἱ ἄλλοι, q. v.

ὤμοι v. ὤ.

ὠμὸπλάτα *scapulae* XXVI 22: Ἰνὼ δ' ἐξέρρηξε σὺν ὠμοπλάτᾳ μέγαν ὦμον.

ὦμος (sg. ὤμῳ, -ον, pl. ὤμων, -οισι, -ους) *humerus* XXII 48: ἐν δὲ μύες στερεοῖσι βραχίοσιν ἄκρον ὑπ' ὦμον | ἕστασαν ἠύτε πέτροι. XXVI 22: Ἰνὼ δ' ἐξέρρηξε σὺν ὠμοπλάτᾳ μέγαν ὦμον. XXII 124: πλῆξεν ὑπὸ σκαιὸν κρόταφον καὶ ἐπέμπεσεν ὤμῳ. XXV 147: πάλιν δέ μιν ὦσεν ὀπίσσω ὤμῳ ἐπιβρίσας. VII 107: (μή τί τυ παῖδες) Ἀρκαδικοὶ σκίλλαισιν ὑπὸ πλευράς τε καὶ ὤμους | τανίκα μαστίσδοιεν. XXV 161: ἧκα παρακλίνας κεφαλὴν κατὰ δεξιὸν ὦμον. XXIV 11: ἆμος δὲ στρέφεται μεσονύκτιον ἐς δύσιν ἄρκτος | Ὠρίωνα κατ' αὐτόν, ὁ δ' ἀμφαίνει μέγαν ὦμον. — humeris sustinentur vestimenta, arma XIV 65: εἴ τοι κατὰ δεξιὸν ὦμον ἀρέσκει | λῶπος ἄκρον περονᾶσθαι.

VII 16: (εἶχε τράγοιο) κνακὸν δέρμ' ὤμοισι νέας ταμίσοιο ποτόσδον. XXV 254: (ἑτέρηφι βέλεμνα) χειρὶ προσεχεθόμην καὶ ἀπ' ὤμων δίπλακα λώπην. XXII 182: τὼ μὲν γὰρ ποτὶ γαῖαν ἀπ' ὤμων τεύχε' ἔθεντο.

ὠμός *immaturus* XI 21: μόσχω γαυροτέρα, σφεῖλωτέρα ὄμφακος ὠμᾶς.

ὠμοφάγος *cruda vorans* XIII 62: ὠμοφάγος λῖς.

ὠμυκλαϊάζων = ὁ ἀμυκλαϊάζων, q. v.

ὠμφιτρύωνος = ὁ Ἀμφιτρύωνος, q. v.

ὦν v. **οὖν**.

ὦναξ = ὦ ἄναξ, q. v.

ὥνεκα v. **οὕνεκα**.

ὡνήρ = ὁ ἀνήρ, q. v.

ὤνθρωπε = ὦ ἄνθρωπε, q. v.

ὤνθρωπος = ὁ ἄνθρωπος, q. v.

ὦνος *pretium* (ὃ δίδωσί τις, ἵνα λάβῃ τι τῶν πωλουμένων. Schol.) I 57: τῶν μὲν ἐγὼ πορθμεῖ Καυλωνίῳ αἶγά τ' ἔδωκα | ὦνον καὶ τυρόεντα μέγαν λευκοῖο γάλακτος: κῷνον coni. A. Fritzschius; v. τυρόεις.

ὥπερ adv. v. **ὅσπερ**.

ὠπιμελητά = ὦ ἐπιμελητά, q. v.

ὡπόλλων = ὁ Ἀπόλλων, q. v.

ᾡπόλος, ᾡπόλοι = ὁ αἰπόλος, οἱ αἰπόλοι, q. v.

ὤρα *cura* IX 20: ἔχω δέ τοι οὐδ' ὅσον ὤραν | χείματος ἢ νωδὸς καρύων ἀμύλοιο παρόντος.

ὥρα, ion. **ὥρη** (sg. ὥρα, aeol. ὤρα XXX 15. ὥρα, -αν, -ην. pl. ὥρας. Ὧραι, -ᾶν) 1) *certum temporis spatium, tempus commodum* XV 26: ἕρπειν ὥρα κ' εἴη. XXX 15: ὤρά τοι φρονέειν (cod. ὥρα). XV 147: ὥρα ὅμως κεἰς οἶκον. c. praep. XXI 40: δειπνεῦντες ἐν ὥρᾳ | — τᾶς γαστρὸς ἐφειδόμεθ': in tempore, mature. XVIII 12: εὕδειν μὰν χρῄζοντα καθ' ὥραν αὐτὸν ἐχρῆν τυ: κατὰ καιρὸν τὸν ἁρμόζοντα. Gloss., alii: mature. Ep. IX 1: ἄνθρωπε, ζωῆς περιφείδεο, μηδὲ παρ' ὥρην | ναυτίλος ἴσθι: praeter tempus navigationi aptum. — plur. de anno XV 74: κεἰς ὥρας κἤπειτα, φίλ' ἀνδρῶν, ἐν καλῷ εἴης: 'et proximo anno et reliquis annis'. — 2) **Ὧραι** *Horae* deae, anni temporum praesides, 'omnibus rebus ornatum, gratiam atque elegantiam parant'; XV 103: (Ἄδωνιν) μηνὶ δυωδεκάτῳ μαλακαὶ πόδας ἄγαγον Ὧραι, | βάρδισται μακάρων Ὧραι φίλαι, ἀλλὰ ποθειναί | ἔρχονται πάντεσσι βροτοῖς αἰεί τι φορεῦσαι. I 149: ἠνίδε τοι τὸ δέπας· θᾶσαι, φίλος, ὡς καλὸν ὄσδει· Ὡρᾶν πεπλύσθαι νιν ἐπὶ κράναισι δοκησεῖς.

ὡραῖος *florens annis et viribus*, tempestivus et aptus iam amoribus I 109: ὡραῖος χὤδωνις, ἐπεὶ καὶ μᾶλα νομεύει.

ὡρανός v. **οὐρανός**.

ὥρατος = ὁ Ἄρατος, q. v.

ὡργεῖος = ὁ Ἀργεῖος, q. v.

ὥριος (dor. pro οὔριος) *secundus* VII 61: Ἀγεάνακτι πλόον διζημένῳ ἐς Μυτιλήναν | ὥρια πάντα γένοιτο, καὶ εὔπλοος ὅρμον ἵκοιτο (pro vulg. ὥρια scr. Mein. auctore Schol.): εὐδιεινά. Gloss.

ὥριος *formosus*, ὡραῖος, de vere v. aestate, tempore maxime opportuno XXV 28: ἐς ληνοὺς δ' ἱκνεῦνται, ἐπὴν θέρος ὥριον ἔλθῃ. VII 85: (καὶ τὺ μελισσᾶν) κηρία φερβόμενος ἔτος ὥριον ἐξεπόνασας, cf. Verg. Ecl. III 57: nunc frondent silvae, nunc formosissimus annus. (de VII 61 v. ὥριος, de XV 112 v. ὀπώρα.)

ὤριφος = ὁ ἔριφος, q. v.

Ὠρίων *Orion* sidus XXIV 11: ἆμος δὲ στρέφεται μεσονύκτιον ἐς δύσιν ἄρκτος | Ὠρίωνα κατ' αὐτόν, ὁ δ' ἀμφαίνει μέγαν ὦμον. VII 53: χὤταν ἐφ' ἑσπερίοις Νότος ὑγρὰ διώκῃ | κύματα, χὠρίων ὅτ' ἐπ' ὠκεανῷ πόδας ἴσχει: h. e. 'quum Orion (mane, mense Novembri) occidit, tempestatesque navigantibus pericula maxima afferunt'. A. Fr.

ὦρνες = οἱ ἄρνες, q. v.

ὧρος = ὁ ἔρος, q. v.

ὦρος v. **ὅρος**.

ὠρυγμός *ululatus, rugitus* leonis XXV 216: οὐδενὸς ἴχνια τοῖον φρασθῆναι δυνάμην οὐδ' ὠρυγμοῖο πυθέσθαι (var. ὀρυγμοῖο v. ὠρυθμοῖο).

ὠρύομαι *ululo* II 35: Θεστυλί, ταὶ κύνες ἄμμιν ἀνὰ πτόλιν ὠρύονται. — c. acc. *lugeo ululans* I 71: τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο.

ὡρχαῖος = ὁ ἀρχαῖος, q. v.

ὡς (ὥς, in crasi χὡς, multo saepius in arsi leg. quam in thesi; ter postponitur (ὥς) XIII 24. XXIV 101. XXV 201. ultima syllaba antecedentis voc. producitur XXV 201 more Homerico. — in compositione ὡσεί ter.) *ut* I) adv. et coni. relat. 1) *ut*,

quemadmodum a) qua ratione v. condicione fiat aliquid indicat α) XII 22: ἀλλ' ἤτοι τούτων μὲν ὑπέρτεροι Οὐρανίωνες ἔσσονθ' ὡς ἐθέλουσιν, cf. XXVII 17. XIV 20. praecipue in sententiis quae adiiciuntur v. interponuntur sent. primariae VI 34: καὶ γάρ θην οὐδ' εἶδος ἔχω κακόν, ὥς με λέγοντι. 36: καλὰ δέ μευ ἁ μία κώρα, | ὡς παρ' ἐμὶν κέκριται. κατεφαίνετο. VIII 2: ὡς φαντί. XV 107: ἀνθρώπων ὡς μῦθος. XII 14: τὸν δ' ἕτερον πάλιν ὥς κεν ὁ Θεσσαλὸς εἴποι ἀίταν. XIII 1: ὡς ἐδοκεῦμες. XXIV 95: ὡς νενόμισται. XXVI 9. deest verbum VII 128: ὁ δέ μοι τὸ λαγωβόλον, ἁδὺ γελάσσας, | ὡς πάρος ἐκ Μοισᾶν ξεινήιον ὤπασεν ἦμεν: 'ut antea instituerat'. II 36: τὸ χαλκέον ὡς τάχος ἄχει: 'ocius'. XIV 8: πράσσομες οὐχ ὡς λῷστα. — β) in sent. pendent. (pro ὅπως) II 84: (κοὔτε τι πομπᾶς) τήνας ἐφρασάμαν, οὐθ' ὡς πάλιν οἴκαδ' ἀπῆνθον | ἔγνων. XV 64: πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἠγάγεθ' Ἥρην. 12: ὅρη, γύναι, ὡς ποθορῇ τυ. VII 73: ᾀσεῖ ὡς — χὠς, cf. 78. 80. — b) usurpatur in comparatione atque fieri aliquid eodem v. simili modo quo quid alìud significat X 2: οὐθ' ἑὸν ὄγμον ἄγειν ὀρθὸν δύνᾳ, ὡς τὸ πρὶν ἄγες. XVI 14: οὐ γὰρ ἔτ' ἄνδρες ἐπ' ἔργμασιν ὡς πάρος ἐσθλοῖς | αἰνεῖσθαι σπεύδοντι. V 28: ὅστις νικασεῖν τὸν πλατίον ὡς τὺ πεποίθεις. XII 9: (σκιερὴν δ' ὑπὸ φηγόν) ἠελίου φρύγοντος ὁδοιπόρος ἔδραμεν ὥς τις: 'et ad te properavi sicuti — viator properat'. XXI 31: ὡς καὶ τὰν ἄγραν, τὠνείρατα πάντα μερίζευ. XXI 64. XIII 8: καί νιν πάντ' ἐδίδαξε, πατὴρ ὡσεὶ φίλον υἱέα. XIII 49: κατήριπε δ' ἐς μέλαν ὕδωρ | ἀθρόος, ὡς ὅτε πυρσὸς ἀπ' οὐρανοῦ ἤριπεν ἀστήρ. I 24: ὡς ὄκα. oppon. demonstr. II 28: ὡς τοῦτον τὸν κηρὸν ἐγὼ σὺν δαίμονι τάκω, | ὣς τάκοιθ' ὑπ' ἔρωτος ὁ Μύνδιος αὐτίκα Δέλφις. cf. II 30. XXV 247: ὡς δ' ὅτ' ἂν ἁρματοπηγὸς ἀνὴρ — | ὅρπηκας κάμπτησιν —, | ὣς ἐπ' ἐμοὶ λῖς αἰνὸς — ἅλτο. II 24: χὠς — οὕτω. VIII 88 = 90: ὡς — οὕτως. XIII 61: ὡς δ' ὁπότ' — λῖς ἐσακούσας | νεβρῶ — | ἐξ εὐνᾶς ἔσπευσεν ἑτοιμοτάταν ἐπὶ δαῖτα, | Ἡρακλέης τοιοῦτος — δεδόνητο. XXII 222: οἷα — καὶ ὡς — τοῖα. XVIII 37: ὧδε — ὡς. — imprimis sine verbo subst. apponitur, ut altera persona v. res compararetur cum altera: ut, tanquam, instar II 55: αἰαῖ Ἔρως ἀνιηρέ, τί μευ μέλαν ἐκ χροὸς αἷμα | ἐμφὺς ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας; III 54: ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γένοιτο. V 131: πολλὸς δὲ καὶ ὡς ῥόδα κίσθος ἐπανθεῖ. VI 15: διαθρύπτεται, ὡς ἀπ' ἀκάνθας | ταὶ καπυραὶ χαῖται. XXV 89: (βόες) ἐρχόμεναι φαίνονθ' ὡσεὶ νέφη ὑδατόεντα. XI 38. XV 92. XVIII 41. XX 16. 22. XXVII 8. Ep. XV 4. Ad. 28. XIV 15: ἀνῷξα δὲ Βίβλινον αὐτοῖς, | εὐώδη, τετόρων ἐτέων, σχεδὸν ὡς ἀπὸ λανῶ: 'odorum prope tanquam recens a torculari'. add. τις VII 41: βάτραχος δὲ ποτ' ἀκρίδας ὥς τις ἐρίσδω, cf. VII 76. XVI 32: (ὡσεί τις). postponitur ὥς XIII 24: (Ἀργὼ διεξάιξε) αἰετὸς ὣς μέγα λαῖτμα. XXIV 101: Ἡρακλέης δ' ὑπὸ ματρὶ νέον φυτὸν ὣς ἐν ἀλωᾷ | ἐτρέφετ'. XXV 201: πάντας γὰρ πισῆας ἐπικλύζων ποταμὸς ὣς | λῖς ἄμοτος κεράιζε, ubi ultima syllaba antecedentis voc. producitur in modum Hom., cf. e. g. Il. XIII 531: αἰγυπιὸς ὥς. (de XXV 164 v. εἷς et ἀκμά.) — 2) *ut, quam*, in exclamatione plerumque cum admiratione quadam enuntiata a) dir. IV 49: εἴθ' ἦν μοι ῥοικὸν τὸ λαγωβόλον! ὥς τυ πάταξα (var. παταξῶ, vulg. πατάξω): 'quam te percussissem!' — c. adi. et adv. V 75: ὡς λάλος ἐσσί. IV 13: τὸν βουκόλον ὡς κακὸν εὗρον. 51: ὡς δὲ βαθεῖαι | τἀτρακτυλλίδες ἐντί. XIV 22: ὡς σοφός (sc. εἶ), cf. XXVII 51. XIV 2: ὡς χρόνιος, cf. XV 1: ὡς χρόνῳ! XX 6: ὡς ἄγρια παίσδεις. XV 79. 82. 84. XX 7. 8. XXV 79. Ep. XXV 5. — b) indir. V 110: ὁρῆτε τὸν αἰπόλον ὡς ἐρεθίζω. 142: ἴδ' ὡς μέγα τοῦτο καχαξῶ | κὰτ τῶ Λάκωνος. I 149: θᾶσαι, φίλος, ὡς καλὸν ὄσδει. XV 53: ἴδ' ὡς ἄγριος. simul causalis vis inesse videtur XV 146: ὀλβία ὅσσα ἴσατι, πανολβία ὡς γλυκὺ φωνεῖ: ὅτι τόσσα, ὅτι οὕτω. — 3) *ut, simul ac*, wie, als XXII 99: οἱ δ' ἅμα πάντες ἀριστῆες κελάδησαν, | ὡς ἴδον ἕλκεα λυγρὰ περὶ στόμα τε γναθμούς τε. XXI 39. XXIV 53. Ad. 2. ter repetitur III 42: ὡς ἴδεν ὡς ἐμάνη ὡς εἰς βαθὺν ἅλατ' ἔρωτα.

II 82: *χὠς ἴδον ὡς ἐμάνην ὥς μευ πέρι θυμὸς ἰάφθη*, ubi A. Fritzschius repetito voc. ὡς contendit significari tres illas actiones celerrime sese excipere atque eodem fere fieri tempore: 'wie ich ihn sah, wie ich vor Liebe rasete .. h. e. eodem momento et vidi et furore correpta et animo perculsa sum'; cf. Verg. Ecl. XIII 41: ut vidi, ut perii, ut me malus abstulit error. Il. XIV 294: *ὡς δ' ἴδεν, ὥς μιν ἔρως πυκινὰς φρένας ἀμφεκάλυψεν*. XIX 16. XX 424. Sunt tamen qui dissentiant alterum ὡς exclamantis esse existimantes, v. Passow. lex., Steph. lex., Wagner. ad Verg. l. l. — 4) causalem habet vim: *quum, nam* II 2: *στέψον τὰν κελέβαν φοινικέῳ οἰὸς ἀώτῳ, | ὡς τὸν ἐμοὶ βαρὺν εὖντα φίλον καταδήσομαι ἄνδρα.* XII 28: *ὄλβιοι οἰκείοιτε, τὸν Ἀττικὸν ὡς περίαλλα | ξεῖνον ἐτιμήσασθε.* VII 25. XIX 8 (ci.). XXV 53. X 39: *ὡς εὖ τὰν ἰδέαν τᾶς ἁρμονίας ἐμέτρησεν*: 'namque'. XXII 162. XXV 58. — post verbum affectuum (quod) XXV 236: *ἀσχαλόων ὥς μ' ὁ πρὶν ἑτώσιος ἔκφυγε χειρός* (ex Ahr. emend. scr. pro ὅς μοι, ὥς μοι, ὅτι μοι; Mein. ὅτι μ' ὁ, Herm. ὅ μοι ὁ). — c. partic. II 79: *στήθεα δὲ στίλβοντα πολὺ πλέον ἢ τύ, Σελάνα, | ὡς ἀπὸ γυμνασίοιο καλὸν πόνον ἄρτι λιπόντων*: 'utpote qui — liquissent'. — 5) localem vim habet ὡς (Ahr. ὥς): *ubi* I 13: (*τεῖδε καθίξας,*) *ὡς τὸ κάταντες τοῦτο γεώλοφον αἵ τε μυρῖκαι.* V 101: *ὧδε — ὡς.* 103: *τουτεὶ — ὡς.* similiter 'ut' pro 'ubi' dicere ausi sunt Catull. XI 3 et XVII 10; Vergil. Aen. V 329. — II) coni. sent. transitivas incipiens 1) dass (*ὅτι*), lat. acc. c. inf. VII 102: (*οἶδεν Ἄριστις,*) *ὡς ἐκ παιδὸς Ἄρατος ὑπ' ὀστίον αἴθετ' ἔρωτι*: 'scit uri Aratum'. II 149: *κεῖπέ μοι ἄλλα τε πολλὰ καὶ ὡς ἄρα Δέλφις ἐρᾶται.* XXIV 68 (Herm. ὥς). — 2) *ut* (*ὥστε*) Ep. XIX 4: *ἦ ῥά νιν αἱ Μοῖσαι καὶ ὁ Δάλιος ἠγάπευν Ἀπόλλων, | ὡς ἐμμελής τ' ἔγεντο κἠπιδέξιος | ἔπεά τε ποιεῖν πρὸς λύραν τ' ἀείδειν.* — 3) *ut* (*ἵνα*) a) c. coni. α) post fut. II 9: (*βασεῦμαι ποτὶ τὰν — παλαίστραν*) *αὔριον, ὡς νιν ἴδω καὶ μέμψομαι οἷά με ποιεῖ.* XI 62. 71. XVIII 47. XXVIII 12. post imper. III 19: *πρόσπτυξαί με τὸν αἰπόλον, ὥς τυ φιλάσω.* V 38. VIII 70. suppletur sent. primaria 'scito' XV 91: *ὡς εἰδῇς καὶ τοῦτο, Κορίνθιαι εἰμὲς ἄνωθεν.* Ep. XX 6. add. part. κεν I 143: *καὶ τὺ δίδου τὰν αἶγα τό τε σκύφος, ὥς κεν ἀμέλξας | σπείσω ταῖς Μοίσαις.* — post opt. XVIII 53: (*δοίη — Ζεὺς ἄφθιτον ὄλβον,*) *ὡς ἐξ εὐπατριδᾶν εἰς εὐπατρίδας πάλιν ἔνθῃ.* — β) post aor. VI 39: *ὡς μὴ βασκανθῶ δέ, τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον.* — b) c. opt. α) post tempus praeteritum XVIII 16: *ὄλβιε γάμβρ', ἀγαθός τις ἐπέπταρεν ἐρχομένῳ τοι | ἐς Σπάρταν ἅπερ ὧλλοι ἀριστέες, ὡς ἀνύσαιο.* XIII 14. — β) post praes. XXIV 98: (*Ζηνὶ δ' ἐπιρρέξαι — χοῖρον,*) *δυσμενέων αἰεὶ καθυπέρτεροι ὡς τελέθοιτε*, cf. Od. XVII 250: (*τὸν*) *ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι.* — add. part. κα et suppletur sent. primaria 'scito' II 142: *χὤς κά τοι μὴ μακρὰ φίλα θρυλέοιμι Σελάνα, | ἐπράχθη τὰ μέγιστα.* — c) c. ind. praeteriti temporis VII 86: *αἴθ' ἐπ' ἐμεῦ ζωοῖς ἐναρίθμιος ὤφελες εἶμεν, | ὥς τοι ἐγὼν ἐνόμευον ἀν' ὤρεα τὰς καλὰς αἶγας*: 'ut tibi pavissem'. XI 54: *ὤμοι, ὅτ' οὐκ ἔτεκέν μ' ἁ μάτηρ βραγχί' ἔχοντα, | ὡς κατέδυν ποτὶ τὶν καὶ τὰν χέρα τευς ἐφίλασα, — | ἔφερον δέ τοι — κρίνα λευκά,* quo nescio an pertineat etiam IV 49; v. supra I 2).

ὥς (ubique, tribus locis exceptis, in introitu versus) *ita, sic* 1) refertur ad priora post orat. dir. II 102: *ὣς ἐφάμαν.* XVII 71: *ὣς ἄρα νᾶσος ἔειπεν.* II 138. VII 42. VIII 81. XXIV 10. 41. XXV 62. 172 (Ahr. c. Herm. ὡς). 189. XXVII 66. — coni. c. part. *οὐδέ, καί* XXV 238: *ἀλλ' οὐδ' ὣς ὑπὸ βύρσαν ἔδυ πολυώδυνος ἰός*: ne sic quidem. Ep. IX 2: (*μηδὲ παρ' ὥρην*) *ναυτίλος ἴσθι· καὶ ὣς οὐ πολὺς ἀνδρὶ βίος*: etiam sic h. e. omissis navigationis periculis. — sequ. *αὔτως* XXII 78. 185; v. ὡσαύτως. — 2) comparandi vim habet; a) opp. ὡς — ὥς ut — ita II 29. 31. XXV 252; v. ὡς I 1). — b) comparatio intelligitur e prioribus VII 45: *ὥς μοι καὶ τέκτων μέγ' ἀπέχθεται, ὅστις ἐρευνῇ | ἶσον ὄρευς κορυφᾷ τελέσαι δόμον*: 'sc. ut tu odisti arrogantiam fastumque inanem'. VIII 52: (*ἴθ' ὦ καλέ' καὶ λέγε 'Μίλων,*) *ὣς Πρωτεὺς φώκας, καὶ θεὸς ὤν, ἔνεμεν'*

vulg. ὡς. quod mutavit A. Fritzschius; Ahr. et Ziegl. e coni. Mein. et Wordsw. ὁ, Koechl. sec. Schol. χὠ): 'sic Proteus pascere phocas (capellis multo olentiores) non est dedignatus, ut scil. te non pudeat cum pastore meo pascere capellas'. — minus latet comparatio II 48: ἱππομανὲς φυτόν ἐστι παρ' Ἀρκάσι· τῷ δ' ἐπὶ πᾶσαι | καὶ πῶλοι μαίνονται ἀν' ὤρεα καὶ θοαὶ ἵπποι. | ὣς καὶ Δέλφιν ἴδοιμι (sc. μαινόμενον).

ὠς (dor. pro οὖς) *auris* XI 82: (λασία ὀφρῦς) ἐξ ὠτὸς τέταται ποτὶ θὠτερον ὡς μία μακρά. V 132: οὐκ ἔραμ' Ἀλκίππας, ὅτι με πρᾶν οὐκ ἐφίλησε | τῶν ὤτων καθελοῖσ', v. φιλέω 3. — met. XIV 27: χἀμὶν τοῦτο δι' ὠτὸς ἐγεντό ποθ' ἀσυχᾷ οὕτως: 'ad aures meas pervenerat'. v. οὖας.

ὡσαύτως *eodem modo* Ep. XIV 1: γνώσομαι εἴ τι νέμεις ἀγαθοῖς πλέον ἢ καὶ ὁ δειλός | ἐκ σέθεν ὡσαύτως ἴσον, ὁδοιπόρ', ἔχει. bis seiunctim ὣς δ' αὔτως (ut apud Hom. semper) XXII 185: ὣς δ' αὔτως ἄκρας ἐτινάξατο δούρατος ἀκμάς | Κάστωρ. XXII 78.

ὡσεί *velut*, v. εἰ III 5); ὡς I 1).

ὥσπερ (in primo, secundo, quinto hex. pede) *sicut*, *ut* II 164: ἐγὼ δ' οἰσῶ τὸν ἐμὸν πόνον ὥσπερ ὑπέσταν. intelligitur verbum ex sent. primaria X 3: οὐθ' ἅμα λᾳοτομεῖς τῷ πλατίον, ἀλλ' ἀπολείπῃ | ὥσπερ ὄις ποίμνας. XI 24: φεύγεις δ' ὥσπερ ὄις πολιὸν λύκον ἀθρήσασα. XV 73: ὠθεῦντ' ὥσπερ ὗες. IV 16. XI 64.

ὥστε 1) *ut*, (so) dass; c. ind. III 47: (τὰν δὲ καλὰν Κυθέρειαν —) οὐχ οὕτως ὤδωνις ἐπὶ πλέον ἄγαγε λύσσας. | ὥστ' οὐδὲ φθίμενόν νιν ἄτερ μαζοῖο τίθητι; c. inf. XIV 58: εἰ δ' οὕτως ἄρα τοι δοκεῖ ὥστ' ἀποδαμεῖν. — minus firma sententiarum est societas XI 58: ἀλλὰ τὰ μὲν θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι, | ὥστ' οὐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθην, iamque ducimur ad 2) *quamobrem*, *itaque*, in introitu sent. primariae XIV 65: ὥστ' εἴ τοι κατὰ δεξιὸν ὦμον ἀρέσκει | λῶπος ἄκρον περονᾶσθαι —, | ᾧ τάχος εἰς Αἴγυπτον.

ὤστοργος = ὁ ἄστοργος, q. v.

ὤτερος = ὁ ἕτερος, q. v.

ὠὐτός = ὁ αὐτός, q. v.

ὠφρόντιστος = ὁ ἀφρόντιστος, q. v.

ὠχρός *pallidus* XIV 5: τοιοῦτος πρώαν τις ἀφίκετο Πυθαγορικτάς | ὠχρὸς κἀνυπόδητος, cf. Ar. Nub. 103: τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λέγεις, ὧν ὁ κακοδαίμων Σωκράτης. de mortuo Ad. 1: Ἄδωνιν ἡ Κυθήρη | ὡς εἶδε νεκρὸν ἤδη | στυγνὰν ἔχοντα χαίταν | ὠχρὰν τε τὰν παρειάν.

ὤψ *oculus* Ep. VI 2: (καταταξεῖς) δάκρυσι διγλήνως ὦπας ὀδυρόμενος.

Addenda et Corrigenda.

p. 1 v. 36 leg. ἀγαπέω (dor. pro ἀγαπάω). — p. 2 v. 8 leg. ἀγήρῳ. v. 19 χρυσὸν. — p. 5 v. 27 pro με leg. μ'. — p. 6 v. 19 post ἀρχᾶς adde (Ziegl. τ. ἐ. Λύκον ἆδεν ἀπ' ἀ.). — p. 11 v. 23 pro XII leg. XIV. — p. 12 v. 8 pro ἀντεῖ leg. ἀντεῖ. — p. 13 v. 13 pro 93 leg. 83. — p. 21 v. 7 leg. ὦν. — p. 23 v. 25 pro θὲ leg. δὲ. — p. 29 v. 56 leg. ἄλλος. — p. 32 v. 33 pro 108 leg. 109. — p. 39 v. 4 leg. τί τυ. — p. 42 v. 12 leg. ἆσσον ἴθ'. v. 32 ἄμμιν et γραία. — p. 43 v. 49 leg. ὀψαμάτα. v. 15 ἀποστάτης. — p. 45 v. 24 pro ἀνῇ leg. ἔχῃ. — p. 46 v. 3 leg. αὖτις. — p. 47 v. 46 leg. destricto. — p. 54 v. 1 post Bombyce adde Polybotae filia. v. 3 leg. βουκολέοντα. — p. 57 v. 54 leg. *Ganymedes.* v. 20 par sit. — p. 61 v. 15 leg. γινόμεθ'. — p. 62 v. 22 leg. ἅτις. v. 25 εἶπε. — p. 64 v. 52 leg. ὠμοφάγος. — p. 69 v. 48 leg. ἀνδρὸς. — p. 71 v. 58 leg. 2). — p. 72 v. 28 leg. XXII 217: — p. 74 v. 37 leg. παρεοῖσαν. — p. 75 v. 43 leg. ὁπποσσάκις. — p. 76 v. 37 leg. ἀνὰ. v. 53 θῆρε. — p. 77 v. 18 leg. ἐς. — p. 81 v. 16 leg. νόσῳ. — p. 82 v. 11 leg. 118. v. 32 ὅσσον. v. 33 leg. IX. v. 34 ὅσον. — p. 83 v. 22 pro praedic. leg. v. εἶναι. v. 39 σφετέρῃσιν. — p. 84 v. 11 ante οὐδ' adde (ci. pro μηδ' εἰ). v. 37 pro *dedes* leg. *pedes.* — p. 86 v. 32 leg. ἔλοισ'. — p. 89 v. 46 leg. εἰσέτι. v. 53 πόλλα. v. 2 Φορωνείδῃσιν. — p. 90 v. 50 leg. λαζύμεναι. — p. 93 v. 7 leg. νεβρός. v. 40 ἐλέφας. — p. 96 v. 28 leg. προθύροισιν. v. 9 γεγράψεται. — p. 98 v. 48 leg. ἀμοιβαδίς. — p. 99 v. 34 leg. εἶναι. v. 38 ματρί. — p. 100 v. 5 leg. *extraho.* — p. 104 v. 51 leg. ἤ που. — p. 107 v. 38 leg. ὦγαθὲ. v. 44 τῷ. — p. 108 v. 56 leg. XVII. — p. 113 v. 29 pro σφισιν leg. σφιν. — p. 114 v. 41 leg. πυξίνᾳ. — p. 119 v. 38 leg. custos. v. 20 πὸτ. — p. 121 v. 42 leg. σφυρόν. — p. 122 v. 24 leg. ἀδνὸν et Ζηνὶ. — p. 125 v. 47 leg. πομπὰν. — p. 126 v. 3 leg. μαζὸν. v. 37 καμέτην et ἔνι. — p. 127 v. 31 leg. Θράισσα. v. 28 ubi est. — p. 129 v. 28 leg. ἱδρώς. — p. 130 v. 30 post 75 adde XXV 28: ἐς ληνοὺς δ' ἱκνεῦνται. v. 46 expunge de — ἔλθῃ — p. 131 v. 43 leg. Φιλῖνον. v. 21 πάντοθεν. v. 25 τὸ ἴον. — p. 133 v. 25 leg. τίς. v. 54 χορὸν. v. 24 κερκίδι. — p. 135 v. 33 leg. ἀσῇ. — p. 136 v. 24 leg. γε μὰν. v. 31 λιπαρόχρων. — p. 137 v. 35 leg. τιν'. — p. 140 v. 43 leg. κάλαμοι. — p. 141 v. 37 leg. κἄμμε. — p. 143 v. 32 leg. ὀρθρευοίσᾳ. — p. 151 v. 1 leg. θύρας. v. 45 θαητὸς. — p. 152 v. 50 leg. ἔπι. — p. 156 v. 1 leg. τῷ. v. 2 τᾶν. v. 43 ἐμμενὲς. — p. 158 v. 36 leg. ἤψατο. v. 53 gloriosissimus. — p. 159 v. 21 leg. κυλοιδιόωντες. — p. 160 v. 6 leg. Ἰασίωνα. v. 24 ἕλκοι. — p. 163 v. 34 leg. Λᾱρῖσαῖος. — p. 164 v. 55 leg. ἀτραπόν. — p. 170 v. 38 leg. κνώδαλα. — p. 171 v. 47 leg. μᾶλός. — p. 172 v. 3 leg. μαθών. — p. 181 v. 31 leg. στερεῶς. — p. 187 v. 44 leg. χορὸν. — p. 214 v. 55 leg. ἀπέσυρε. — p. 217 v. 16 leg. οὐδὲ μί'. — p. 237 v. 56 leg. ὁμαλοὶ. — p. 240 v. 28 post filia add. Bombyce. — p. 257 v. 9 leg Lydiae. — p. 260 v. 5 post pastores add. Graeci. — p. 262 v. 41 leg. ἔσπευσεν. — p. 265 v. 17 leg. τοὶ. — p. 278 v. 18 leg. τίθημι. — p. 284 v. 28 leg. τριᾱκοντάζῠγος. — p. 286 v. 13 leg. 87. — p. 291 v. 48 leg. μάλα. — p. 295 v. 32 leg. φαλαρός. v. 44 ἔφαθ'. — p. 297 v. 4 expunge ipr. οἴσετε. v. 6 post ἐνείκαι adde ipr. οἴσετε. — p. 299 v. 2 leg. φιλεούσης. — p. 301 v. 16 expunge αὐχμηρὰς. v. 17 add. στήθεά τε. — p. 303 v. 50 leg. πλεύρ'. — p. 304 v. 4 post *inspiro* adde ipf. dor. —